Σχόλια. Κρόταλον.] κυρίως ὁ σχιζόμενος κάλαμος. ὁ κατασκευαζόμενος ἐπιτηδές ὥστε ἠχεῖν εἴ τις αὐτὸν διονοίη τῇ χερσὶ, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔσῃ φησὶ. καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ κρόταλον. Ἐχ᾽ ἀτρέμας.] μένε ἐφ᾽ ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται, διὸ παρακελεύεται αὐτὸν μένειν. παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. Οὐ ψεύσει γέ με.] τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται Σωκράτης ψεύδεται. πληρωθεὶς A γάρ φησι τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. ἄλλως. τῇ χιόνι παττόμενος, ἐὰν ἔλθωσιν αἱ Νεφέλαι. λέγεται δὲ παιπάλη, τὸ λεπτότατον τοῦ ἀλεύρου. ἀφ᾽ οὗ παλύνειν τὸ λευκαίνειν. ὡς τὸ πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας. ἐπεὶ οὖν ἐκεῖνος εἶπε γενήσῃ τρῖμμα κρόταλον παιπάλη, αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην, τουτέστι τὸ ἄλευρον εἰπὼν καταπαττόμενος.

B

## ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ ιβ.

### Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

Bisetus. Σωκράτης τὰς Νεφέλας ἐπικαλεῖ, ὅπως τὴν ἑαυτῶν θείαν ἀρωγὴν ἑαυτῷ φέρωσι, καὶ παρῶσιν εὐμενεῖς τὸν Στρεψιάδην διδάξοντι. C

Εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν.
Ὦ δέσποτ᾽ ἄναξ, ἀμέτρητ᾽ ἀὴρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
Λαμπρός τ᾽ αἰθὴρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι, D
Ἄρθητε, φάνητ᾽, ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.
Στ. Μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι: μὴ καταβρεχθῶ.
Τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον᾽ ἔχοντα.
Σω. Ἔλθετε δῆτ᾽ ὦ πολυτίμητοι Νεφέλαι, τῷδ᾽ εἰς ἐπίδειξιν. E

## CONGERIES DVODECIM VERSVVM PER INCISIONEM.

### *Anapæstici Aristophanij.*

SO. *Fauisse decet ling-a vetulum, precibúsque attendere mentem.*
*O rex, immense aer, qui terram pendentem vndique cingis:*
*O rutile æther: ô venerandæ Nubes, quæ fulmina vento*
*Mittitis: attollimini & contemplanti mihi adeste coruscæ.*
ST. *Nondum, nondum: priusquàm ego vestes complicuero, ne madefiam.*
*Sed me miserum: qui non modò domo huc aduenio benè tectus.*
SO. *Age, adeste citò Nubes, & vos præbete huic conspiciendas:*

Σχόλια. Εὐφημεῖν χρή.] ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου ἔκθεσίς ἐστιν, ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβ. ὧν τελευταῖος, ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι. καλεῖται δὲ τὸ μέτρον τοῦτο Ἀριστοφάνειον ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ τῇ ἀποθέσει παράγραφος. ἄλλως. εὐφημεῖν χρή. ταῦτα πρὸς τὸν Στρεψιάδην. παρακελεύεται γὰρ αὐτὸν σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται, καὶ μηδὲν βλάσφημον εἰπεῖν. Ἀμέτρητ᾽ ἀήρ.] ἀκατάληπτε καὶ ἀναρίθμητε. τὸν δὲ ἀέρα προσεύχεται. ἐπεὶ αἱ νεφέλαι τούτου. μετρικοῖς φιλοσόφων λόγοις, ἀέρα βούλεται εἶναι τὸ πᾶν οἱ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα ἐδογμάτισαντο. Ὃς ἔχεις.] ὃς παρείληφας τὴν γῆν καὶ βαστάζεις. δόξα γάρ τις ἐθρυλλεῖτο τῶν φυσικῶν, ὅτι πλατεῖα οὖσα ἡ γῆ, ὀχεῖται ἐν τῷ ἀέρι. Λαμπρός τ᾽ αἰθήρ.] ἰδίως τὸ τοῦ ἡλίου φῶς αἰθὴρ καλεῖται. ἀπὸ τοῦ αἴθειν ὅ ἐστι πυροῦν. θερμὸς γὰρ ὁ ἥλιος καὶ διάπυρος. διόπερ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθετικῷ ἐχρήσατο. αἰθέρα λαμπρὸν εἰπών. Σεμναί τε θεαί.] οὐχ οὕτω λέγει τὰς νεφέλας σεμνὰς ὡς τὰς Ἐριννύας. ἃς ἐκτρεπόμενοι πάντως ἂν ὀνομαστὶ λέγειν Εὐμενίδας αὐτὰς καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σιωπηλὸν, σεμνὸν νενόμισται. Βροντησικέραυνοι.] ἀλλήλων γὰρ προσερχομένων τῶν νεφελῶν πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως. ἰδίως δὲ κἀνταῦθα, τῷ συνθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ Νεφέλαι προδεικνύναι καὶ προσημαίνειν ἡμῖν, τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ ἢ ἀστράπτει ἢ ὅτε σκηπτοὺς ἐπιπέμπει. ἐκ τῶν Νεφελῶν φησὶ τὴν ἀστραπὴν καὶ βροντὴν συγκρουομένας ἀποπέμπειν. Ἄρθητε.] F φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ. ἄρθητε εἰπών. οἱονεὶ, ἐπάρθητε. φασὶ γὰρ τὰς Νεφέλας εἰς ὕψος αἴρεσθαι κατ᾽ ὀλίγον ἀπὸ τῆς γῆς, ἢ τῆς θαλάσσης. Τῷ φροντιστῇ.] δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους ἵνα ἢ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας. ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμουμένου αὐτοῦ τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ. Μήπω μήπω γε.] ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἐμφανῶς. ἔστι δὲ παρεπιγραφή. G διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται. Τὸ δὲ μὴ κυνῆν.] περικεφαλαίαν. ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. Ἔχοντα,] οὐ μωρὸν δηλονότι, οὐκ ἀνόητον, ἐλλειπὲς γὰρ εἴρηται.